11/08/2019

Το Ευαγγέλιο της Κυριακής 11 Αυγούστου

/ Ορθόδοξες Προβολές

Κατά Ματθαίον Ευαγγέλιο (ιδ΄ 14-22): Γιορτή: **Άγιος Εύπλους**
Τῷ καιρῷ ἐκείνῳ, εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ’ αὐτοῖς καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν.

Ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. Ὁ δὲ εἶπε· Φέρετέ μοι αὐτούς ὧδε. Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων. Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

Μετάφραση

Εκεῖνο τον καιρό, ὁ Ἰησοῦς εἶδε πολύν κόσμο καί τούς σπλαχνίστηκε, καί γιάτρεψε τούς ἀρρώστους τών. Ὅταν ἔπεσε τό δειλινό, τόν πλησίασαν οἱ μαθητές του καί τοῦ εἶπαν: «Ὁ τόπος εἶναι ἐρημικός, καί ἡ ὥρα πιά περασμένη. Διῶξε τόν κόσμο νά πᾶνε στά χωριά γιά ν΄ ἀγοράσουν φαγητά νά φᾶνε». Ὁ Ἰησοῦς ὅμως τούς εἶπε: «Δέν ὑπάρχει λόγος νά φύγουν, δῶστε τούς ἐσεῖς νά φᾶνε». «Δέν ἔχουμε ἐδῶ παρά πέντε ψωμιά καί δύο ψάρια», τοῦ ἀπαντοῦν. «Φέρτε μοῦ τά ἐδῶ», τούς λέει. Κι ἀφοῦ πρόσταξε τόν κόσμο νά καθίσει γιά φαγητό πάνω στό χορτάρι, πῆρε τά πέντε ψωμιά καί τά δύο ψάρια, ἔστρεψε τό βλέμμα του στόν οὐρανό, τά εὐλόγησε, ἔκοψε τά ψωμιά σέ κομμάτια καί τά ἔδωσε στούς μαθητές, καί οἱ μαθητές στό πλῆθος. Ἔφαγαν ὅλοι καί χόρτασαν. Καί μάζεψαν τά περισσεύματα ἀπό τά κομμάτια, δώδεκα κοφίνια γεμάτα. Αὐτοί πού ἔφαγαν ἦταν περίπου πέντε χιλιάδες ἄντρες, χωρίς τίς γυναῖκες καί τά παιδιά. Ἀμέσως ὕστερα ὁ Ἰησοῦς ὑποχρέωσε τούς μαθητές του νά μποῦν στό καΐκι καί νά πᾶνε νά τόν περιμένουν στήν ἀπέναντι ὄχθη, ὡσότου αὐτός διαλύσει τά πλήθη.